# 22 MARTIE

# PARACLISUL SF.PREOT-MUCENIC VASILE DE LA ANCIRA

## PARACLISIER-GR

www.tezaurliturgic.ro



# ΜΑΡΤΙΟΥ 22
# ΒΑΣΙΛΕΙΟΥ
# ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΑΓΚΥΡΑΣ
# ΠΑΡΑΚΛΗΣΙΣ

*Ἐπιμελεία τοῦ Μητροπολίτου Θεσσαλιώτιδος καὶ Φαναριοφαρσάλων Ἰεζεκιήλ.*

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:
*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*
Ὁ χορός: *Ἀμήν.*

*Ψαλμός ρμβ' (142).*

Καὶ εὐθύς ψάλλεται τετράκις ἐξ' ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:
*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*
Στίχ. α'. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*
*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν...*
Στίχ. β'. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν…*
Στίχ. γ’. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.*
*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν…*

*Εἶτα τὸ τροπάριον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*
Τὸν ἱερόαθλον πρεσβύτερον πάντες, Ἀγκυρανῶν τῆς Ἐκκλησίας προθύμως, Βασίλειον τιμήσωμεν βοῶντες αὐτῷ· αὔχημα περίδοξον, τοῦ σεμνείου Ῥεντίνης, σκέπε τοὺς ὑμνοῦντάς σου, τοὺς τιμίους κάματους, διὰ Χριστὸν οὓς ἔτλης Ἀθλητά, καὶ προσκυνοῦντας, τὴν πάνσεπτον κάραν σου.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

Εἶτα ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Βασίλειε, Ῥεντίνης ἔφορε, βοήθει μου. Χ. Μ.*

*Ὠδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Βασίλειε κλέος Ἀγκυρανῶν, σεπτῆς Ἐκκλησίας, καὶ Ῥεντίνης φρουρὲ Χριστῷ, μὴ παύσῃ πρεσβεύων καταπέμψαι, τοῖς σὲ τιμῶσι κατ’ ἄμφω ὑγείαν.

Ἀκέστωρ ὑπάρχεις καὶ ἀρωγός, λαοῦ χριστωνύμου, αἰτουμένου σὰς προσευχάς, Βασίλειε μάκαρ Ἐκκλησίας, τῆς ἀμωμήτου Κυρίου πρεσβύτερε.
Στολὴν πορφυρώσας ταῖς σαῖς ῥοαῖς, ἱερατικήν σου, τῶν αἱμάτων παρὰ Θεοῦ, ἀπείληφας χάριν ἱκετεύειν, ὑπὲρ ἡμῶν Ἀθλοφόρε Βασίλειε.

*Θεοτοκίον.*

Ἱλέωσαι Κύριον καὶ Θεόν, ἡμῖν Θεομῆτορ, μεγαλύνουσιν εὐλαβῶς, Σὸν ἄμετρον πλῆθος θαυμασίων, καὶ θερμὴν προστασίαν Σου Δέσποινα.

*Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Λαμπηδὼν σωφροσύνης καὶ ἀκραιφνοῦς πίστεως, ἱερεῦ Βασίλειε μάκαρ, πάντας ἐφώτισας, ἀκτῖσι σῶν διδαχῶν· διό σε πόθῳ τιμῶντες, τὰς θερμὰς πρεσβείαις σου, ἀπεκδεχόμεθα.
Εὐσυμπάθητε Πάτερ τοὺς σοὶ ταχὺ σπεύδοντας, καὶ ἀσπαζομένουν σὴν θείαν, κάραν Βασίλειε, ῥῦσαι δεινῶν συμφορῶν, καὶ ἀνυποίστων κινδύνων, σαῖς λιταῖς πρὸς Κύριον, τὸν πανευΐλατον.
Ἱερεῦ τοῦ Ὑψίστου περικλεὲς πρόσδεξαι, παρακλήσεις τῶν ἱκετὼν σου, Πάτερ Βασίλειε, καὶ ὡς εὐῶδες αὐτάς, Χριστῷ προσάγαγε τάχος, Ἅγιε θυμίαμα, χάριτος σκήνωμα.

*Θεοτοκίον.*

Ἐλεήμονος Μῆτερ Υἱοῦ Θεοῦ Δέσποινα, κεχαριτωμένη μαρία, πάντων ἐπάκουσον, Σοῦ

δεομένων θερμῶς, καὶ τοῦ Υἱοῦ Σου ἐλέη, ἅπασι κατάπεμψον, Σὲ μακαρίζουσι.

Βασίλειε, Μονῆς Ῥεντίνης ὁ τάχιστος ἀντιλήπτωρ, καθικέτευε τὸν Χριστὸν ὑπὲρ τῶν τιμώντων σε, καὶ κάραν τὴν θείαν σου προσκυνούντων.
Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Προστάτης θερμὸς Μονῆς Ῥεντίνης πέφηνας, ὡς ὄλβον σεπτὸν ἐχούσης νῦν Βασίλειε, τὴν ἁγίαν κάραν σου, καὶ πιστῶν ἱερὸν καταφύγιον, τῶν ἐκβοώντων· Χαῖρε Ἀθλητά, Χριστοῦ Ἐκκλησίας γενναιότατε.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ῥαντισμῷ προστασίας σου, θαυμαστὲ Βασίλειε καθαγίασον, τοὺς προστρέχοντας σῇ χάριτι, καὶ ἐξαιτουμένους σὴν βοήθειαν.
Ἐπομβρίαις ἀόκνων σου, προσευχῶν Βασίλειε τῶν προσφύγων σου, τὰς ψυχὰς τρισμάκαρ πίανον, πρὸς καρποφορίαν βίου κρείττονος.
Νοῦν ἡμῶν ἀποκάθαρον, ῥύπου ἁμαρτάδων πολλῶν Βασίλειε, ἱερόαθλε πανεύφημε, τῆς Μονῆς Ῥεντίνης ἀγαλλίαμα.

*Θεοτοκίον.*

Τείχισόν με πρεσβείαις Σου, πρὸς τὸν μόνον πάντας σῴζεις δυνάμενον, θεῖον Τόκον Σου καὶ Κύριον, Ἰησοῦν Μητρόθεε πανύμνητε.

*Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ἰουλιανοῦ, Παραβάτου τὴν σκοτόμαιναν, ὁ σκεδάσας μαρτυρίου σου βολαῖς, διασκόρπισον ὀμίχλην ἀγνωσίας μου.

Νεῦσον ταῖς ἡμῶν, οὐρανόθεν παρακλήσεσι, καταπαύων τὰ σκιρτήματα σαρκός, τὰ χαμαίζηλα Βασίλειε θειότατε.

Ἤνυσας καλῶς, τῆς ἀθλήσεως τὸ στάδιον, καὶ Μαρτύρων παῤῥησίαν εἰληφώς, ἐκπληροῖς σῶν ἱκετῶν εὐχὰς Βασίλειε.

*Θεοτοκίον.*

Στήριξον ἡμᾶς, κλονουμένους Μητροπάρθενε, βακτηρία Σῶν ἀόκνων προσευχῶν, πρὸς τὸν Στῦλον τῆς ζωῆς τὸν ἀμετάθετον.

*Ὠδὴ στ΄. Τὴν δέησιν.*

Ἐπάκουσον, τῶν ἡμῶν Βασίλειε, προσευχῶν Ἱερομάρτυς γενναῖε, ὁ ἁγιάσας Ἀγκύρας τὴν χθόνα, τῶν σῶν αἱμάτων ῥοαῖς καὶ ἐπόμβρισον, ἡμῖν ἰσχὺν τὸν πονηρόν, θριαμβεῦσαι ἐχθρὸν τὸν ἀλάστορα.

Φωτόλαμπρε, Ἀθλητὰ Βασίλειε, ἱερέων ἀλκιφρόνων φαιδρότης, μὴ διαλίπῃς Χριστὸν ἱκετέυων, ἡμῖν

βραβεῦσαι ὑψόθεν μετάνοιαν, ἵνα μελλόντων ἀγαθῶν, ἀπολαύσω έν πόλῳ ὁ δύστηνος.
Ὁ τάχιστος, ἀρωγὸς Βασίλειε, ὁμηγύρεως πιστῶν καὶ προστάτης, Μονῆς Ῥεντίνης τοὺς ἀσπαζομένους, τὴν παναγίαν σου κάραν κατεύθυνε, πρὸς τὴν σωτήριον ὁδόν, ούρανῶν πρὸς σκηνώσεις τὴν ἄγουσαν.

*Θεοτοκίον.*

Ῥοδόπλοκον, καὶ τερπνὸν όσφράδιον, παρθενίας ἀγλαὴ Θεομῆτορ, τὴν δυσωδίαν παθῶν μου ὑσσώπω, τῶν πρεσβειῶν σου ἀπόπλυνον δέομαι, καὶ εὐωδίαν τοῦ Χρισοῦ, καὶ Υἱοῦ Σου μὲ δεῖξον Σὸν πρόσφυγα.

Βασίλειε, Μονῆς Ῥεντίνης ὁ τάχιστος ἀντιλήπτωρ, καθικέτευε τὸν Χριστὸν ὑπὲρ τῶν τιμώντων σε, καὶ κάραν τὴν θείαν σου προσκυνούντων.
Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, έπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.*

Τὸν ταῖς αἱμάτων ῥοαῖς πορφυρώσαντα, ἱερωσύνης ποδήρη χιτώνιον, Βασίλειον ὕμνοις τιμήσωμεν, καὶ τὴν αὐτοῦ κεφαλὴν ἀσπαζόμενοι, λιτὰς τὰς αὐτοῦ ἐκζητήσωμεν.

Προκείμενον: *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ έν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Στ.: *Πεφυτευμένος έν τῷ οἴκῳ Κυρίου, έν αύλαῖς οἴκου Θεοῦ ἡμῶν.*

## *Εύαγγέλιον. Κατά Ματθαίον (ι΄ 32-33, 37-38, ιθ΄ 27-30)*

Εἶπεν ὁ Κύριος· πᾶς ὅστις ὁμολογήσει έν έμοὶ ἔμπροσθεν τῶν άνθρώπων, ὁμολογήσω κάγὼ έν αύτῷ ἔμπροσθεν τοῦ πατρός μου τοῦ έν ούρανοῖς· ὅστις δ᾽ ἂν άρνήσηταί με ἔμπροσθεν τῶν άνθρώπων, άρνήσομαι αύτὸν κάγὼ ἔμπροσθεν τοῦ πατρός μου τοῦ έν ούρανοῖς. Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ έμὲ ούκ ἔστι μου ἄξιος· καὶ ὁ φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ έμὲ ούκ ἔστι μου ἄξιος· καὶ ὃς ού λαμβάνει τὸν σταυρὸν αύτοῦ καὶ άκολουθεῖ όπίσω μου, ούκ ἔστι μου ἄξιος. Τότε άποκριθεὶς ὁ Πέτρος εἶπεν αύτῷ· ίδοὺ ἡμεῖς άφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι· τί ἄρα ἔσται ἡμῖν; Ὁ δὲ Ἰησοῦς εἶπεν αύτοῖς· άμὴν λέγω ὑμῖν ὅτι ὑμεῖς οἱ άκολουθήσαντές μοι, έν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ υἱὸς τοῦ άνθρώπου έπὶ θρόνου δόξης αύτοῦ, καθίσεσθε καὶ ὑμεῖς έπὶ δώδεκα θρόνους κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. Καὶ πᾶς ὃς άφῆκεν οίκίας ἢ άδελφοὺς ἢ άδελφὰς ἢ πατέρα ἢ μητέρα ἢ γυναῖκα ἢ τέκνα ἢ άγροὺς ἕνεκεν τοῦ όνόματός μου, ἑκατονταπλασίονα λήψεται καὶ ζωὴν αίώνιον κληρονομήσει. Πολλοὶ δὲ ἔσονται πρῶτοι ἔσχατοι καὶ ἔσχατοι πρῶτοι.

Δόξα: *Ταῖς τοῦ Ἱεράρχου...*
Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*
Προσόμοιον. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι. Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Ἔνθεε πρεσβύτερε, καὶ Λειτουργὲ τοῦ Ὑψίστου, Ἀθλητὰ Βασίλειε, τῆς Ἀγκύρας καύχημα ἱερώτατον, τὸν λαμπρὸν στέφανον, ἐκ Θεοῦ ἐδέξω, ὡς Μαρτύρων ἐγκαλλώπισμα, Ὃν καθικέτευε, πάσης χαλεπῆς περιστάσεως, καὶ νόσων καὶ κακώσεων, ῥύεσθαι τοὺς σοὶ καταφεύγοντας, καὶ ἀσπαζομένους, τὴν κάραν σου τὴν θείαν καὶ σεπτήν, τὴν πᾶσι βρύουσαν νάματα, ἰαμάτων Ἅγιε.

*Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ἐν σοὶ γάνυται μάνδρα τῆς Ῥεντίνης ἐν κόλποις ὡς ὄλβον ἔχουσα, τὴν πάνσεπτόν σου κάραν, Βασίλειε Ἀγκύρας, ἱερόαθλε πάντιμε, ἣν ῥύου πάσης πληγῆς, κακῶν καὶ δυσχερείας.
Βοηθὸς ἐν ἀνάγκαις τῶν προσφύγων σου πέλεις σοφὲ Βασίλειε, καὶ θεῖος ἀντιλήπτωρ, τῶν πίστει ἀνυμνούντων, τὴν στεῤῥάν σου ἐνάθλησιν, δι’ ἧς Ἰουλιανοῦ, ἐπάτησας τὸ θράσος.
Ὁμοδίαιτε πάντων τῶν Ἁγίων ἐν πόλῳ κλεινὲ Βασίλειε, σὺν τούτοις ἐκδυσώπει, ὑπὲρ τῶν σὲ τιμώντων, τὸν παντάνακτα Κύριον, ἵνα ῥυσθῶμεν δεινῶν, παντοίων καὶ ἀνάγκης.

*Θεοτοκίον.*

Ἡ ἀκένωτος κρήνη οὐρανίων ὑδάτων Θεογεννήτρια, σωτήριόν μοι νᾶμα, ἀνάβλυσον Παρθένε, τῷ ἀχρείῳ οἰκέτῃ Σου, καὶ πότισόν μου ψυχήν, ταχέως τὴν διψῶσαν.

*Ὠδὴ η΄. Τὸν Βασιλέα.*

Θραῦσον τὰ βέλη, τὰ ἰοβόλα τοῦ πλάνου, καθ’ ἡμῶν τὰ κινούμενα Πάτερ, θείων πρεσβειῶν σου, Βασίλειε ἀσπίδι.

Ἔχει σε στέφος, καὶ πολυτίμητον γέρας, ἡ Μονὴ τῆς Ῥεντίνης θεόφρον, Ἀθλητὰ ἣν σκέπε, Βασίλειε ἀπαύστως.

Ἰσχὺν μοι δίδου, κατὰ παθῶν ψυχοφθόρων, καὶ ἐκκάθαρον ἐκ νοημάτων, ἀπρεπῶν τὸν νοῦν μου, Βασίλειε παμμάκαρ.

*Θεοτοκίον.*

Μῆτερ τοῦ Λόγου, Θεοῦ Κυρία Παρθένε, ἐκ παθῶν σκοτασμοῦ λύτρωσαί με, ἵνα Σὲ γεραίρω, τὴν κεχαριτωμένην.

*Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ὁ λύχνος εὐψυχίας, ἄναψόν μοι πόθον, ζωῆς ἀγήρω βοῶ σοι Βασίλειε, Ἀγκυρανῶν Ἐκκλησίας φωστὴρ παμμέγιστε.

Ἱερωσύνης κέρας, καὶ Μαρτύρων εὖχος, θαυματουργὲ καὶ φωσφόρε Βασίλειε, τοὺς σοὺς ἱκέτας κατεύθυνον πρὸς τελείωσιν.

Χαρὰ ἱεροάθλων, τὴν σεπτήν σου κάραν, πανευλαβῶς οἱ πιστοὶ ἀσπαζόμενοι, τῶν λυπηρῶν τὴν ὁμίχλην ἀποδιώκομεν.

*Θεοτοκίον.*

Μετὰ τοῦ Βασιλείου, καὶ Ἁγίων Πάντων, εὐλογημένη Παρθένε ἱκέτευε, ὑπὲρ ἡμῶν τὸν Υἱόν Σου τῶν δοξαζόντων Σε.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.
Χαίροις ἱερέων ὑπογραμμός, χαίροις Ἀθλοφόρων, ἀλκιφρόνων ὁ κοινωνός, χαίροις Παραβάτου, ὀφρῦν ὁ ἐδαφίσας, γενναιοτάτῃ γνώμῃ, Πάτερ Βασίλειε.
Χαίροις Ἐκκλησίας Ἀγκυρανῶν, ἄνθος πανευῶδες, εὐωδίαν ἀθλητικήν, δήμοις χριστωνύμων, ὁ διαπνεύσας Μάρτυς, Βασίλειε ἀγάπης, Κτίστου ὡς ἔπλεως.
Χαίρων καθυπέμεινας κολασμούς, ἱερεῦ παμμάκαρ, δι’ ἀγάπην τοῦ Λυτρωτοῦ, καὶ τῶν μισοθέων, τοὺς δήμους ἐτροπώσω, Βασίλειε ἐνστάσει, ἀνδρειοφρόνῳ σου.

Ἔχει ὡς ἀτίμητον θησαυρόν, κάραν σου τὴν θείαν, καὶ ἰάσεων ποταμόν, ἡ Μονὴ Ῥεντίνης, Βασίλειε ἣν σῶζε, ἐκ πάσης ἐπηρείας, τοῦ παναλάστορος.
Νόσων ἀνιάτων καὶ λοιμικῶν, πειρασμῶν παντοίων, ψυχοφθόρων δυσχερεῖν, καὶ κινδύνων ῥῦσαι, τοὺς μεγαλύνοντάς σε, ὡς Ἱερομαρτύρων, κλέος Βασίλειε.
Τῇ θερμῇ πρεσβείᾳ σου ἀκλινῶς, σπεύδει καθ' ἑκάστην, ἡ ὁμήγυρις εὐσεβῶν, ἣν ἀεὶ συντήρει, ἀπήμαντον ἐκ πάσης, ἐπιβολῆς τοῦ πλάνου, μάκαρ Βασίλειε.
Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν είς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί…*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν…*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες είς Σέ μή

ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι᾽ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β᾽. Ὅτε ἐκ τοῦ ξύλου.*

Μάρτυς, Ἀθλοφόρε ἱερέ, τῆς Ἀγκυρανῶν Ἐκκλησίας, θεόφρον μυσταγωγέ, ἄλκιμε Βασίλειε, Ἀγγέλων σύσκηνε, ἐκτενῶς καθικέτευε, τῶν πάντων Δεσπότην, ὅπως πάσης θλίψεως, ἐχθροῦ κακώσεως, καὶ δυσχερειῶν λυτρωθῶμεν, κάραν οἱ τὴν σὴν προσκυνοῦντες, καὶ τὴν ἄθλησίν σου μακαρίζοντες.
Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.
Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι᾽ εὐχῶν.*